# ΑΚΟΛΟΥΘΙΑ ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ

(Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου)

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος γ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

## ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σοφίας χάριτι, πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, πλούτῳ τῶν ἐνθέων σου λόγων, δι ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Δόξα Πατρί... Ἕτερον, Ἦχος α΄. Τῆς ἐρήμου πολίτης

Τὸν τοῦ Ἄθω φωστῆρα καὶ τῆς Νάξου τὸ βλάστημα, καὶ Ἐκκλησίας ἁπάσης τὸν θεόπνουν διδάσκαλον, Νικόδημον τιμήσωμεν πιστοί, ὡς ἔμπλεων σοφίας θεϊκῆς· διδαχὰς γὰρ οὐρανίους καὶ δαψιλεῖς βλυστάνει τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ ἡμῖν τὰ πρόσφορα.

Καὶ νῦν...Θεοτοκίον. Ἦχος α΄.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου· Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄. Χορὸς ἀγγελικός.

Χοροὶ τῶν μοναστῶν, τὴν ἁγίαν σου μνήμην, συνῆλθον εὐλαβῶς ἑορτάσαι προθύμως, Νικόδημε ὅσιε, εὐσεβείας διδάσκαλε· οὓς εὐλόγησον ἐπισκοπῇ σου ἀΰλῳ, μετὰ πίστεως προσπτυσσομένους θεόφρον, τὴν ἐπίτιμον κάραν σου.

Δόξα Πατρί... Ὅμοιον.

Σοφίας θεϊκῆς, ἐλλαμφθεὶς ταῖς ἀκτῖσι, ῥημάτων ἱερῶν, θησαυρὸν ἐξηρεύξω, Νικόδημε Ὅσιε, εὐσεβείας διδάσκαλε, δι’ ὧν πάντοτε, ἡμᾶς παιδεύεις παμμάκαρ, πρὸς

ἀνάβασιν, τῆς ἐν Χριστῷ κεκρυμμένης, ζωῆς καὶ λαμπρότητος.

Καὶ νῦν...Θεοτοκίον

Τῆς δόξης σου ἁγνή, τὰ πολλὰ μεγαλεῖα, ὕμνων δαβιτικῶς, ἐν ᾠδαῖς ἡδυφθόγγοις, Νικόδημος ὁ ὅσιος, ἀνεβόα τὸ χαῖρέ σοι, ἀπειρόγαμε, εὐλογημένη Μαρία, κόσμου γέφυρα, πρὸς τὸν Θεὸν καὶ Σωτῆρα, καὶ Ἄθω ἀντίληψις.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Λειμὼν εὐωδέστατος τῶν θεοπνεύστων Γραφῶν, ἐδείχθης Νικόδημε τῇ καθαρᾷ σου ζωῇ, καὶ μύστης θεόληπτος· τούτων γὰρ τῇ μελέτῃ ἐντρυφῶν καθ' ἑκάστην, γνώσεως οὐρανίου τὴν ὀσμὴν ἐκομίσω, δι' ἧς πάτερ εὐφραίνεις τοὺς σὲ μακαρίζοντας.

Δόξα Πατρί... Ὅμοιον.

Ὁσίως ἐβίωσας καὶ ἐναρέτως σοφέ, καὶ πάντας ἐξέπληξας ἐν τῇ σοφίᾳ τῇ σῇ, Νικόδημε Ὅσιε· εὔφρανας Ὀρθοδόξων, τοὺς χοροὺς τῷ σῷ λόγῳ, ἔλυσας κακοδόξων, τάς μωρὰς σοφιστείας· διό σου τὴν ἐτήσιον μνήμην γεραίρομεν.

Καὶ νῦν...Θεοτοκίον.

Ἀσπόρως συνέλαβες τὸν Ποιητὴν τοῦ παντός, ἀφθόρως δὲ τέτοκας ἐκ τῶν αἱμάτων τῶν σῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν· ὅθεν σε σωτηρίας, ἀπαρχὴν κεκτημένοι, ὑμνοῦμέν σε Θεοτὸκε, ὡς ἡμῶν προστασίαν, καὶ πίστει μεγαλύνομεν τὴν δόξαν σου ἄχραντε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν θείαν πεπλουτηκώς, πάσης γνώσεως πλοῦτον πνευματικόν, ἠρεύξω μακάριε ἐκ θησαυροῦ τῆς καρδίας σου, καὶ τροφοδότης ὤφθης τῷ λόγῳ τῆς χάριτος, τῶν εὐσεβῶν ἐκτρέφων ψυχὴν καὶ διάνοιαν· ὅθεν καὶ τὰ ἤθη τῶν ἀνθρώπων ῥυθμίζων, τοῖς πᾶσιν ὑπέδειξας σωτηρίας τὴν ἔλλαμψιν, θεοφόρε Νικόδημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί... Καὶ νῦν...

Θεοτοκίον. Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Σωματώσασα Κόρη δίχα τροπῆς, ἐξ ἁγνῶν σου αἱμάτων ὑπερφυῶς, Χριστὸν τὸν Θεὸν ἡμῶν, διὰ σπλάγχνα χρηστότητος, ἡμᾶς πρὸς ἀρχαίαν ζωὴν ἐπανήγαγες, νεκρώσασα τὸν ὄφιν τῷ τόκῳ σου ἄχραντε. Ὅθεν εὐγνωμόνως εὐχαρίστους ᾠδάς σοι, ἀεὶ ἐξυφαίνομεν τὴν σὴν χάριν δεχόμενοι, Θεοτόκε βοῶντές σοι. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πόθῳ τῇ σκέπῃ σου Δέσποινα.

Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ἦχος δʹ

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. (δίς)

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου
Ἦχος βʹ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον Ὁσιακόν.
(Λουκ. ϛʹ 17-24)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, ........

Καὶ εὐθὺς ὁ Νʹ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον᾽ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β´

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β´

Ὁ τῆς Ἐκκλησίας νεοφανὴς ἑωσφόρος, καὶ τῶν μοναστῶν θεοειδὴς διδάσκαλος, Νικόδημος ὁ θεόληπτος, τὸν τῆς ἀρετῆς κάλλιστον τελέσας δρόμον, πρὸς οὐρανίους σκηνὰς ἀνίπταται· τοὺς δὲ τὴν σεπτὴν αὐτοῦ μνήμην ἑορτάζοντας, ταῖς πατρικαῖς εὐλογίαις ἀμοίβεται, καὶ πᾶσιν αἰτεῖται τὸ μέγα ἔλεος.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ´)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

ΚΑΝΟΝΕΣ

Ὠδὴ α´

Ὁ Κανὼν τῆς Θεοτόκου,

Ἦχος δ´ Ὁ Εἱρμὸς

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Χαρίτων θησαύρισμα καὶ ἀνεξάντλητον πέλαγος, ὑπάρχουσα Δέσποινα ῥανίδα γνώσεως, κἀμοὶ ὄμβρησον, ἵνα σὺν τῷ Ἀγγέλῳ, τὸ χαῖρε βοήσω σοι ᾀσμάτων σάλπιγγι.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀρᾶς ἡ καθαίρεσις χαῖρε Θεόνυμφε Δέσποινα, τοῦ κόσμου ἡ λύτρωσις χαῖρε Πανάμωμε, ἡ πηγάσασα, ζωὴν τὴν αἰωνίαν, καὶ ᾅδην νεκρώσασα χαῖρε τῷ τόκῳ σου.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἰσχύος ἀνάκτορον τῆς Πατρικῆς χαῖρε ἄχραντε, παστὰς ἡ ἀμόλυντος χαῖρε τοῦ Κτίσαντος, ὁ ὑπέρλαμπρος, νυμφὼν χαῖρε τῆς δόξης, τῆς θείας σαρκώσεως τὸ ἐργαστήριον.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥάβδος ἡ ἀνθήσασα τὸν φυτουργὸν πάσης κτίσεως, χαῖρε ἀπειρόγαμε, χαῖρε ἡ ἄμπελος, ἡ βλαστήσασα τὸν βότρυν τὸν ὡραῖον, τὸν οἶνον βλυστάνοντα τῆς ἐπιγνώσεως.

ανὼν τοῦ Ὁσίου,

Ἦχος δ´ Εἱρμὸς .

Ἀνοίξω τὸ στόμα

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τριὰς ὁμοούσιε Πάτερ Υἱὲ Πνεῦμα ἅγιον, σοφίαν παράσχου μοι ἵνα ὑμνήσω φαιδρῶς, τὸν ἐν λόγοις καὶ δόγμασι καὶ ἔργοις, δοξάσαντα Κύριε θεῖον Νικόδημον.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ νοῦς ὁ οὐράνιος ἡ μυροθήκη τοῦ Πνεύματος, ὁ θεῖος Νικόδημος πάντας καλεῖται ἡμᾶς, τὴν ἐτήσιον, αὐτοῦ τελέσαι μνήμην· συνδράμωμεν ἅπαντες τοῦτον γεραίροντες.

Δόξα Πατρί...

Νεκρώσας τὸ φρόνημα τὸ τῆς σαρκός σου Νικόδημε, τὸ χεῖρον ὑπέταξας πάτερ τῷ κρείττονι, δι᾽ἀσκήσεως, φιλοσοφίας θείας, καὶ ὤφθης τῆς χάριτος σκεῦος πολύτιμον.

Καὶ νῦν...Θεοτοκίον

Ἰσχὺν καὶ κραταίωμα καὶ φωτισμὸν τὴν σὴν εὔνοιαν, ὁ θεῖος Νικόδημος πλουτήσας Δέσποινα, ἐνθεώτατος καὶ ὅλος θεοφόρος, ἐσχάτοις ἐν ἔτεσι ὤφθη ἐν Ἄθωνι.

ᾨδὴ γ΄. Ἦχος δ΄. Ὁ Εἱρμὸς

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον . (δίς).

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς..

Ὄρος τὸ κατάσκιον καὶ θεῖον, ἐξ οὗ ἐπεδήμησεν ἡμῖν, ὁ Βασιλεὺς τῆς κτίσεως, καὶ τὸν Ἀδὰμ ἀνεύρατο, ἐν ἀπωλείας ὄρεσι, χαῖρε ἁγνὴ Μητροπάρθενε.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς..

Ἰάσεων χαῖρε τοῖς ἀνθρώποις, ὀμβρίζουσα δρόμον δαψιλῶς, χαῖρε πηγὴ ἀκένωτε, ἐξ ἧς ἡμῖν ἀνέβλυσε, τὸ ὕδωρ τὸ ἀλλόμενον, εἰς σωτηρίαν αἰώνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Στάμνος ἡ χρυσῆ χαῖρε Παρθένε, ἡ κόσμῳ τὸν ἄρτον τῆς ζωῆς, ὡς μάννα ἐπουράνιον, ἀσπόρως γεωργήσασα, χαῖρε λυχνία πάμφωτε, τοῦ πατρικοῦ ἀπαυγάσματος.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν πλάκα τῆς νέας διαθήκης, ἐν ᾗ ὁ Δεσπότης τοῦ παντός, ἐγράφη σωματούμενος, ὑμνήσωμεν κραυγάζοντες· χαῖρε τοῦ νόμου πλήρωμα, καὶ Προφητῶν περιήχημα.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπλήσθης φωτὸς ἐπουρανίου, καθάρας Νικόδημε τὸν νοῦν, καὶ ὡς φωστὴρ πολύφωτος, ἐν τοῖς ἐσχάτοις ἔτεσι, τῇ Ἐκκλησίᾳ ἔλαμψας, εἰς εὐσεβῶν περιποίησιν.

Στίχ. Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥημάτων τῶν θείων σου ἡ χάρις, εἰς πᾶσαν ἐξέλαμψεν τὴν γῆν, ὡς ἀστραπὴ οὐράνιος, ἤθη ψυχῶν κα-

θαίρουσα, καὶ πρὸς τὸ φῶς ἰθύνουσα, τῶν ἐνταλμάτων τοῦ Κτίσαντος.

Δόξα Πατρί...

Ὁ λύχνος τῆς θείας ἐπιπνοίας, ἡ σάλπιγξ ἡ εὔσημος Θεοῦ, ἡ γλῶσσα ἡ θεόφθογγος, ὑμνείσθω θείοις ᾄσμασιν, ἀξιοχρέως σήμερον, ὁ θεηγόρος Νικόδημος.

Καὶ νῦν...Θεοτοκίον

Ναὸς φωτοφόρος καὶ καθέδρα, πυρίμορφος ὤφθης τοῦ Θεοῦ, εὐλογημένη Δέσποινα, τοῦτον σαρκὶ κυήσασα· διὸ κἀμὲ καταύγασον, τῇ ἀγλαΐᾳ τῆς δόξης σου.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Κάθισμα

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸ θεόπνευστον στόμα τοῦ θείου Πνεύματος, ἡ παναρμόνιος λύρα τῶν οὐρανίων ᾠδῶν, τῶν ἐν Ἄθῳ μοναστῶν τὸ ἐγκαλλώπισμα, ὁ θεοφόρος γραμματεύς, τῆς σοφίας τοῦ Θεοῦ, Νικόδημος ὁ θεόφρων, χαρμονικῶς ἐπαινείσθω, ὡς Χριστοῦ θεράπων γνήσιος.

Δόξα Πατρί... Καὶ νῦν...

Θεοτοκίον.

Θεοτόκε Παρθένε κόσμου βοήθεια, ἐν καιρῷ τῆς ἀνάγκης βοήθει πάντοτε, τοῖς προστρέχουσι θερμῶς τῇ προστασίᾳ σου, καὶ τὴν παροῦσαν σου ἁγνή, κληρουχίαν τὴν σεπτήν, διάσῳζε πάσης βλάβης, ὅτι τῇ σῇ ἀντιλήψει, διὰ παντὸς προστρέχει Δέσποινα.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

Κοντάκιον Ἦχος δ΄

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ.

Ὡς ἐναρέτου πολιτείας μύστην ἄριστον, καὶ εὐσεβείας θεοφόρητον διδάσκαλον, ἡ ὀρθόδοξος γεραίρει σε Ἐκκλησία. Οὐρανόθεν γὰρ τὸ χάρισμα δεξάμενος, καταυγάζεις τοῖς ἐνθέοις σου συγγράμμασι, τοὺς βοῶντάς σοι· χαίροις πάτερ Νικόδημε.

Ὁ Οἶκος

Ἄγγελος ἐν τοῖς τρόποις, καὶ πολὺς ἐν τῇ γνώσει, Νικόδημε ἐν Ἄθῳ ἐδείχθης· ἀγγελικὴν γὰρ ἔχων ζωήν, ἀγγελοπρεπεῖ φωνῇ διεσάφησας, τὰ ἐν πατράσι κείμενα, δι’ ὧν φωτίζεις τοὺς βοῶντας·

Χαῖρε, τῆς Νάξου ἡ εὐκοσμία· χαῖρε, τοῦ Ἄθῳ ἡ δᾳδουχία.

Χαῖρε, τῶν πατρῴων δογμάτων ἀνάπτυξις· χαῖρε, τῶν ἁγίων ῥημάτων ἀνάλυσις.

Χαῖρε, ὕψος φρονήσεως καὶ σοφίας ποταμὸς· χαῖρε, βάθος θείας γνώσεως καὶ ἀγάπης θησαυρός.

Χαῖρε, ὅτι ἐδείχθης γραμματεὺς θεοφόρος· χαῖρε, ὅτι τυγχάνεις ἑρμηνεὺς θεηγόρος.

Χαῖρε, λαμπὰς ἠθῶν τῆς σεμνότητος· χαῖρε, πυρσὸς τῆς ἄνω λαμπρότητος.

Χαῖρε, δι΄ οὗ οἱ πιστοὶ βεβαιοῦνται· χαῖρε, δι΄ οὗ οἱ ἐχθροὶ ἐπτοοῦνται.

Χαίροις πάτερ Νικόδημε.

Συναξάριον

Τῇ ΙΔ´ τοῦ μηνός Ἰουλίου, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νικοδήμου τοῦ Ἁγιορείτου, τοῦ σοφωτάτου τῆς Ἐκκλησίας διδασκάλου (†1809).

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ἀκύλα.

Στίχοι

Ἥπλωσε Παῦλος, ὡς σαγήνην, τοὺς λόγους,

Ἤγρευσε δ´ ὡς θήραμα θεῖον Ἀκύλαν.

Ἀκύλαν δεκάτῃ γε τετάρτῃ τύμβος ἔκρυφεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἰούστου.

Στίχοι

Μὴ θῦμα βαλεῖν εἰς τὸ βωμοῦ πῦρ θέλων,

Εἰς πῦρ Ἰοῦστος θῦμα βάλλεται ξένον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ὀνησίμου.

Στίχοι

Ἐλαφρὸν ἦρα φορτίον σὸν ἡδέως,

Μεθ´ οὗ σὸς Ὀνήσιμος ἥκω σοι, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωσήφ, Ἀρχιεπισκόπου Θεσσαλονίκης.

Στίχοι

Ἀφείς, Ἰωσὴφ καθέδραν τὴν γηΐνην,

Παρίσταται νῦν τῷ θρόνῳ τοῦ Κυρίου.

Οἱ ἅγιοι μάρτυρες Ἀκύλας καὶ Ἱλάριος ξίφει τελειοῦνται.

Ὁ ἅγιος μάρτυς Πέτρος ὁ νέος, τοὺς πόδας ἐκκοπείς, τελειοῦται.

Ὁ ἅγιος μάρτυς Ἡράκλειος, ῥοπάλοις τυπτόμενος, τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος δ´. ᾠδὴ α´

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ´

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου ...........στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ´

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾠδὴ ε´

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ´

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς

Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ᾽

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η᾽

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ὠδὴ θ'

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Γυναῖκες ἀκουτίσθητε. Ἦχος β'

Φιλοσοφίας ἔρωτι, τῆς θεϊκῆς τρεφόμενος, σοφίας τῆς ἀνωτάτω, ἐδρέψω πάτερ τὸν πλοῦτον, Νικόδημε θεόσοφε, θεολογίας ὄργανον, καὶ τῶν Ὁσίων σύσκηνε· μεθ᾽ ὧν ἀπαύστως δυσώπει, ὑπὲρ ἡμῶν θεοφόρε.

Θεοτοκίον

Θεὸν τὸν ὑπερούσιον, Παρθένε σωματώσασα, ἀνέτρεψας τῷ σῷ

τόκῳ, τὴν καταδίκην τῆς Εὔας, καὶ εὐλογίας ἔβλυσας, πηγὴν τοῖς σὲ δοξάζουσι, καὶ εὐσεβῶς κηρύττουσι, σὲ πάναγνον Θεοτόκον, καὶ ἀειπάρθενον Κόρην.

ΑΙΝΟΙ . Ἦχος α΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων

Τοῦ ἱεροῦ Νικοδήμου καὶ διδασκάλου ἡμῶν, τὴν φωτοφόρον μνήμην, ἑορτάσωμεν πόθῳ· ὁσίως γὰρ βιώσας ἐν ἀρεταῖς, τῷ Χριστῷ εὐηρέστησε, καὶ διδαγμάτων ἁγίων ὑφηγητής, ἀνεδείχθη θείῳ Πνεύματι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἅπας ὁ Ἄθως σκιρτάτω ἀγαλλόμενος, τοῦ θείου Νικοδήμου καὶ σοφοῦ ἐν Ὁσίοις, πλουσίαις δᾳδουχίαις καὶ δωρεαῖς, μυστικαῖς λαμπρυνόμενος· ὡς γὰρ λαμπρὸς ἑωσφόρος φωταγωγεῖ, οἰκουμένης τὰ πληρώματα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἐν τοῖς λειμῶσι τῶν θείων Γραφῶν ἱπτάμενος, εὐθείᾳ διανοίᾳ ὥσπερ μέλισσα πάτερ, συνήθροισας ἐκεῖθεν τὸν γλυκασμόν, καὶ τὸ μέλι τῆς χάριτος, καὶ θεοφθόγγοις νοήμασιν ἱεροῖς, κατευφραίνεις τὰς ψυχὰς ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὴν παναγίαν σου κάραν καὶ πανσεβάσμιον, πιστῶς περικυκλοῦντες προσπτυσσόμεθα πόθῳ, Νικόδημε παμμάκαρ καὶ ἐξ αὐτῆς, θείαν χάριν καρπούμεθα, καὶ τῆς ζωῆς τῆς ἀγήρω τὴν δωρεάν, ὀσφραινόμεθα ἐν Πνεύματι.

Δόξα Πατρί... Ἦχος πλ. α΄

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν εὐφραινόμενοι, τῇ φωτοφόρῳ μνήμῃ τοῦ διδασκάλου ἡμῶν. Ἱερεῖς καὶ μονάζοντες συντρεχέτωσαν, τὸν θεοφόρον κροτείτωσαν ἐν ὕμνοις, ὡς τῷ κόσμῳ βλύσαντα, διδαγμάτων ἱερῶν πηγάς, ὡς ἐξ Ἐδὲμ πελαγιζούσας ἅπασιν. Ὀρθοδόξων τὰ συστήματα, τὸν τῆς Ὀρθοδοξίας νεόφωτον φωστῆρα, συνελθόντες ἀνυμνήσωμεν· τῆς σοφίας τὸν θησαυρόν, τῶν ἀρετῶν τὸ ταμεῖον, τὸ τοῦ Παρακλήτου στόμα, τὴν στήλην τῶν σεμνῶν ἠθῶν, τὴν θεόφθογγον τῶν θεολόγων γλῶσσαν, τὸν θεαυγῆ τῆς ἐγκρατείας λύχνον, τὴν τῶν ὀρθῶν δογμάτων λύραν, τῶν πάντων τῶν εὐσεβῶν ὁδηγὸν ἔν-

θεον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Νικόδημε θεόσοφε, συνέτισον ἡμᾶς τῇ σῇ διδασκαλίᾳ, καὶ πρέσβευε ἀεὶ τῇ Τριάδι, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν...

*Ἦχος πλ. α΄ Θεοτοκίον*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει, τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις· Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολύσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν. Τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μαναδόχον χρυσέαν στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην, ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς οὐρανῶν βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

*Δοξολογία Μεγάλη. Ἦχος α΄*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*καὶ εὐθὺς τὸ Ἀπολυτίκιον*

*Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Σοφίας χάριτι, πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, πλούτῳ τῶν ἐνθέων σου λόγων, δι ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ ( *τῆς ἑορτῆς*)

*Ἀντίφωνον Α΄*

*Ἦχος β΄.*

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Ἀντίφωνον Β΄. Ἦχος β΄.*

*Στίχ.* Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

*Στίχ.* Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

*Στίχ.* Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος α΄.

Στίχ. α΄. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἀπολυτίκιον.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σοφίας χάριτι, πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, πλούτῳ τῶν ἐνθέων σου λόγων, δι ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Στίχ.Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἀπολυτίκιον.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σοφίας χάριτι, πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, πλούτῳ τῶν ἐνθέων σου λόγων, δι ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Μικρὰ Εἴσοδος.

Εἰσοδικόν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, ( ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σοφίας χάριτι, πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, πλούτῳ τῶν ἐνθέων σου λόγων, δι ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Ἕτερον,

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης

Τὸν τοῦ Ἄθω φωστῆρα καὶ τῆς Νάξου τὸ βλάστημα, καὶ Ἐκκλησίας ἁπάσης τὸν θεόπνουν διδάσκαλον, Νικόδημον τιμήσωμεν πιστοί, ὡς ἔμπλεων σοφίας θεϊκῆς· διδαχὰς γὰρ οὐρανίους καὶ δαψιλεῖς βλυστάνει τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ ἡμῖν τὰ πρόσφορα.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον
Ἦχος β΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδης ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.(γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 5:8-19

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῆ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει· Ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα. (γ΄) Ἦχος α΄.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.